σπουδαιότερόν μου; : (ΣΩ.) Καὶ μάλ' ἡδ⟨έ⟩ως· λέγε. :
(ΓΟ.) Εἶναι νομίζω πᾶσιν ἀνθρώποις ἐγώ,
τοῖς τ' εὐτυχοῦσιν τοῖς τε πράττουσιν κακῶς,
πέρας τι τούτο⟨υ⟩ καὶ μεταλλαγήν τινα·
καὶ τῷ μὲν εὐτυχοῦντι μέχρι τούτου μένειν
τὰ πράγματ' εὐθενοῦντ' ἀεὶ τὰ τοῦ βίου,
ὅσον ἂν χρόνον φέρειν δύνηται τὴν τύχην
μηδὲν ποήσας ἄδικον — εἰς δὲ τοῦθ' ὅταν
ἔλθῃ προαχθεὶς τοῖς ἀγαθοῖς, ἐνταῦθά που
τὴν μεταβολὴν τὴν εἰς τὸ χεῖρον λαμβάνει —
τοῖς δ' ἐνδεῶς πράττουσιν, ἂν μηδὲν κακὸν
ποιῶσιν ἀποροῦντες φέρωσιν δ' εὐγενῶς
τὸν δαίμον', εἰς πίστιν ποτ' ἐλθόντας χρόνωι
βελτίον' εἶναι μερίδα προσδοκᾶν τινα.
Τί οὖν λέγω; Μήτ' αὐτός, εἰ σφόδρ' εὐπορεῖς,
πίστευε τούτῳ, μήτε τῶν πτωχῶν πάλιν
ἡμῶν καταφρόνει· τοῦ διευτυχεῖν δ' ἀεὶ
πάρεχε σ⟨ε⟩αυτὸν τοῖς ὁρῶσιν ἄξιον. :
ΣΩΣΤ/ Ἄτοπον δέ σοί τι φαίνομαι νυνὶ ποεῖν; :
(ΓΟ.) Ἔργον δοκεῖς μοι φαῦλον ἐζηλωκέναι,
πείσειν νομίζων ἐξαμαρτεῖν παρθένον
ἐλευθέραν ἢ καιρὸν ἐπιτηρῶν τινα